ἀγαθοῖς. καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς A
πλησίον ἐστὶν, οἷον, πλοῦτος, καὶ κάλλος μᾶλλον ὑγιείας. φανερὸν δὲ καὶ οἱ ζηλωτοὶ τίνες· οἱ γὰρ ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι, ζηλωτοί. ἔστι δὲ ταῦτα τὰ εἰρημένα, οἷον, ἀνδρία, σοφία, ἀρχή· οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν· στρατηγοὶ, ῥήτορες, πάντες οἱ τὰ τοιαῦτα δυνάμενοι. καὶ οἷς πολλοὶ ὅμοιοι βούλονται
εἶναι, ἢ πολλοὶ γνώριμοι, ἢ φίλοι πολλοί. ἢ οὓς B
πολλοὶ θαυμάζουσιν, ἢ οὓς αὐτοὶ θαυμάζουσι. καὶ ὧν ἔπαινοι καὶ ἐγκώμια λέγονται, ἢ ὑπὸ ποιητῶν, ἢ ὀλιγογράφων. καταφρονοῦσι δὲ τῶν ἐναντίων· ἐναντίον γὰρ ζήλῳ καταφρόνησίς ἐστι, καὶ τὸ ζηλοῦν τῷ καταφρονεῖν. ἀνάγκη δὲ τοὺς οὕτως ἔχοντας ὥστε ζηλῶσαί τινας, ἢ ζηλοῦσθαι, καταφρονητικοὺς εἶναι τούτων τε,
καὶ ἐπὶ τούτοις ὅσοι τὰ ἐναντία κακὰ ἔ- C
χουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν. διὸ πολλάκις καταφρονοῦσι τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη. δι' ὧν μὲν οὖν τὰ πάθη ἐγγίνεται, καὶ διαλύεται, ἐξ ὧν αἱ πίστεις γίγνονται, περὶ αὐτῶν εἴρηται.

## Κεφάλαιον ιβ.

ΤΑ δὲ ἤθη ποῖοί τινες, κατὰ τὰ πάθη, καὶ D
τὰς ἕξεις, καὶ τὰς ἡλικίας, καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. λέγω δὲ, πάθη μὲν ὀργὴν, ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρότερον· ἕξεις δὲ, ἀρετὰς, καὶ κακίας· εἴρηται δὲ καὶ περὶ τούτων πρότερον, καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοί. ἡλικίαι δέ εἰσι, νεότης,
καὶ ἀκμὴ, καὶ γῆρας. τύχην δὲ λέγω, εὐ- E
γένειαν, καὶ πλοῦτον, καὶ δυνάμεις, καὶ τἀναντία τούτοις, καὶ ὅλως εὐτυχίαν, καὶ δυστυχίαν. οἱ μὲν οὖν νέοι, τὰ ἤθη εἰσὶν ἐπιθυμητικοὶ, καὶ οἷοι ποιεῖν ὧν ἂν ἐπιθυμήσωσι. καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν, μάλιστα ἀκολουθητικοί εἰσι τῆς περὶ τὰ ἀφροδίσια, καὶ ἀκρατεῖς ταύτης. εὐμετάβολοι δὲ καὶ
ἁψίκοροι πρὸς τὰς ἐπιθυμίας. καὶ σφό- F
δρα μὲν ἐπιθυμοῦσι, ταχὺ δὲ παύονται. ὀξεῖαι γὰρ αἱ βουλήσεις, καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ πεῖναι. καὶ θυμικοὶ, καὶ ὀξύθυμοι, καὶ οἷοι ἀκολουθεῖν τῇ ὁρμῇ. καὶ ἥττοις εἰσὶ τοῦ θυμοῦ· διὰ γὰρ φιλοτιμίαν οὐκ ἀνέχονται ὀλιγωρούμενοι, ἀλλ' ἀγανακτοῦσιν, ἂν οἴωνται ἀδικεῖσθαι. καὶ φιλότιμοι μὲν εἰσι, μᾶλλον δὲ φιλόνικοι·

Et quorum bonorum fruitio proximis est, vt diuitiæ,& pulchritudo magis,quàm sanitas. Apparent verò etiam æmulandi aliqui.qui enim hæc,& talia possident,æmulandi sunt.ea verò sunt quæ dicta sunt,vt fortitudo, sapientia,magistratus. nam qui magistratus gerunt,in multos possunt esse benefici:imperatores,oratores,omnes,qui talia possunt. Et quibus multi similes volunt esse, aut multi familiares, aut amici multi,aut quos multi suspiciunt, aut quos ipsi suspiciunt. Et quorum laudes, & encomia dicuntur aut à poetis, aut scriptoribus orationum. Contemnunt verò contrarios. Nam contraria æmulationi contemptio est, & id, quodest æmulari, ei, quod est contemnere. Necesse autem est, sic se habentes, vt æmulentur aliquibus, aut æmulatione petantur, ad contemnendum procliues esse, tum hos, tum ob hæc, quæcunque contraria mala habent bonis æmulandis. Quamobrem sæpenumero contemnunt prospera fortuna vtentes, cùm sine honoratis bonis adsit ipsis fortuna. Ac ex quibus quidem affectus excitentur, & dissoluantur, vnde fides fit, de iis dictum est.

## CAPVT XII.

MOribus autem quales sint secundum affectus,& habitus,& ætates,& fortunas,post hæc explicemus.Ac dico affectus iram,cupiditatem, & talia, de quibus diximus prius. Habitus verò virtutes, & vitia.dictum est etiam de his prius,& qualia præeligant singuli,&qualium sint effectores. Ætates autem sunt iuuentus,& vigor, & senectus. Fortunas verò dico nobilitatem, diuitias, potentiam, & his contraria, & omnino prosperam, aduersámque fortunam. Ac iuuenes quidem moribus sunt cupidi, & parati ad ea efficienda, quæ concupiuerint, & ex cupiditatibus quæ circa corpus versantur, maximè eius sectatores sunt,quæ circa res venereas est. & incontinentes ipsius. & in horas mutabiles. & fastidiosi in cupiditatibus.& valde quidem concupiscunt: celeriter verò sedantur. Acutæ enim voluntates eis sunt, & non perdurantes, cuiusmodi sunt ægrotantium fames, & sitis. Et excandescentes,& acutè excandescentes,& parati ad impetum sequendum. Et obnoxij sunt iræ. Nam propter studium honoris non patiuntur se paruifieri, sed molestè ferũt,si existimẽt se iniuria affici. Et studiosi honoris quidé sunt,sed magis victoriæ.